δικαιότερον ἂν αὐτῷ δικάζοιτο πηρώσεως ὧν ἐπιλέληςται, καὶ βιαίων ἐφ' οἷς κατέχεται, καὶ ὕβρεως ὧν ἀδοξεῖ καὶ λοιδορεῖται, τῶν ἐκείνου κακῶν ἀναδεχομένη τὰς αἰτίας οὐ προσηκόντως.

**3.** Ἀγωνιστέον οὖν ὑπὲρ τῆς ἀληθείας. καλὸς γὰρ ὁ ἀγών, καὶ τῇ ψυχῇ ὁ λόγος πάντως χρήσιμος, εἰ μὲν οὐκ αὐτῆς τὰ πάθη φαίνεται, πρὸς ἀπολογίαν, εἰ δ' αὐτῆς, πρὸς ἀπαλλαγήν· ὥστ' ἢ φυλάξασθαι τὸ ἑκούσιον ἢ μὴ λοιδορεῖσθαι τὸ ἀλλότριον.

**4.** Ἔδει μὲν τοὺς δογματικοὺς καὶ καταληπτικοὺς εἶναι φιλοσόφους φάσκοντας, εἰ μὴ περὶ ἄλλο τι, τήν γε τῶν παθῶν ἐνάργειαν ὁμολογεῖν ἀλλήλοις καὶ συμφέρεσθαι. πολὺς δ' αὐτῶν ὁ παράλογός ἐστιν. οἱ μὲν γὰρ ἅπαντα συλλήβδην ταῦτα τῇ ψυχῇ φέροντες ἀνέθεσαν, ὥσπερ Στράτων ὁ φυσικός, οὐ μόνον τὰς ἐπιθυμίας, ἀλλὰ καὶ τὰς λύπας, οὐδὲ τοὺς φόβους καὶ τοὺς φθόνους καὶ τὰς ἐπιχαιρεκακίας, ἀλλὰ καὶ πόνους καὶ ἡδονὰς καὶ ἀλγηδόνας καὶ ὅλως πᾶσαν αἴσθησιν ἐν τῇ ψυχῇ συνίστασθαι φάμενος, καὶ τῆς ψυχῆς τὰ τοιαῦτα πάντ' εἶναι, μὴ τὸν πόδα πονούντων ἡμῶν, ὅταν προσκρούσωμεν, μηδὲ τὴν κεφαλήν, ὅταν κατάξωμεν, μη⟨δὲ⟩ τὸν δάκτυλον, ὅταν ἐκτέμωμεν· ἀναίσθητα γὰρ τὰ λοιπὰ πλὴν τοῦ ἡγεμονικοῦ, πρὸς ὃ τῆς πληγῆς ὀξέως ἀναφερομένης τὴν αἴσθησιν ἀλγηδόνα καλοῦμεν. ὡς δὲ τὴν φωνὴν τοῖς ὠσὶν αὐτοῖς ἐνηχοῦσαν ἔξω δοκοῦμεν εἶναι, τὸ ἀπὸ τῆς ἀρχῆς ἐπὶ τὸ ἡγεμονικὸν διάστημα τῇ αἰσθήσει προσλογιζόμενοι, παραπλησίως τὸν ἐκ τοῦ τραύματος πόνον οὐχ ὅπου τὴν αἴσθησιν εἴληφεν, ἀλλ' ὅθεν ἔσχε τὴν ἀρχὴν εἶναι